| Κωνσταντῖνος Λάσκαρις |
| --- |
| Migne P. G. τ. 161. |

σ. 964-963

Κωνσταντίνου Λασκάρεως:

Notitia Brevis Impp. CPolitanorum

A Theodoro Lascari ad Constantinum III et Urbem Captam

Θεόδωρος Λάσκαρις, ἀνὴρ γεννάδας. Ἰωάννης Δούκας ὁ Βατάτζης.

Θεόδωρος Λάσκαρις, ὁ υἱὸς Ἰωάννου.

Μιχαὴλ Παλαιολόγος ὁ Μέγας, ὃς Λατίνους ἐδίωξε τῆς Πόλεως.

Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ. Μιχαὴλ Παλαιολόγος Τρίτος.

Καντακουζηνὸς Παλαιολόγος. Ἀνδρόνικος Παλαιολόγος

Μανουὴλ ὁ υἱὸς αὐτοῦ· οὗ υἱεῖς καθ' ἡμᾶς ἕξ!

Ἰωάννης πρῶτος ὁ βασιλεύσας, καὶ ἄπαις ἀποθανών.

Θεόδωρος ὁ ἐν Σηλυμβρίᾳ[1] ἀποθανών.

Κωνσταντῖνος ὁ μετὰ Ἰωάννην βασιλεύσας ὕστατον, ἐφ' οὗ ἑάλω ἡ Πόλις παρὰ τῶν ἀσεβῶν Τούρκων, καὶ αὐτὸς αἰχμάλωτος γέγονα.

Δημήτριος ὁ ἐν Ἀδριανουπόλει ἀποθανὼν μετὰ τὴν ἅλωσιν τῆς Πελοποννήσου, ἐν ᾧ

Θωμᾶς ὁ τελευταῖος φυγὼν μετὰ γυναικὸς καὶ παιδίων, ἐν Ῥώμῃ ἀφίκετο· κἀκεῖ τέθνηκε, ἀφεὶς δύο υἱοὺς καὶ μίαν θυγατέρα, ἥτις ἔγημε τὸν βασιλέα τῆς Ῥωσίας. Οἱ δὲ υἱοὶ ὁ μὲν πρῶτος ἐν Ῥώμῃ διάγει· ὁ δὲ δεύτερος φυγὼν εἰς Τούρκους ἀπῆλθεν ἐκεῖ.

(1) Ea urbs Herodoto, Straboni, Ptolemaeo, Σηλυβρία
Xenophonti, Scymno, Scylaci, Stephano, Σηλυμβρία.
Quae forma Latinis Melae et Plinio placuit
Socrati vero in «Hist. Tripart.» Σαλαβρία.

Eumdem Theodorum Cangius «Hist. Byzant.» pag. 243. Selybriae Despotam vocat.

Ego vero, ut Auctoris Graeci verbis, qui Σηλυμβρία, per metathesis aut recentiorem usum scripsit, propius accederem.

Latine Selymbriam malui.

Sita porro est in Romania, Turcarum provincia, leucas 18 occasum versus ab Urbe CPoli. Eademque hodie, vix mutato nomine, Selibria vocitatur.

(ἀκολουθεῖ)

2/

Σ. 966-967 Graec. Matrit.

Τοῦ αὐτοῦ: Basilii Imp. Successorum Notitia, usque ad captam Urbem. Cod. 72 fol. 140-176

- - - .

Μανουὴλ ὁ υἱὸς αὐτοῦ (Ἀνδρέου τοῦ Παλαιολόγου) ἔτι περιὼν υἱοὺς γεννήσας τοὺς καθ' ἡμᾶς. Ὡς ὁ πρῶτος Ἰωάννης ὁ Κουδὸς κληθεὶς ἔτι · ὁ ποιήσας τὴν ὀγδόην σύνοδον ἐν Φλωρεντίᾳ, ἑνώσας Λατίνους καὶ Ῥωμαίους · ἤτοι ὀλίγον διέμεινε.

Δεύτερος Θεόδωρος ὁ Δεσπότης ἐν Σηλυβρίᾳ προαποθανὼν Ἰωάννου ἐπ' ἔτος. Καὶ μετ' ἐνιαυτὸν ὀλίγον ἀπέθανε καὶ ὁ Ἰωάννης τὸ σχῆμα αὐτοῦ ζῶντος μοναχῶν.

Μετὰ τὸν Ἰωάννην ἐστέφθη ὁ Κωνσταντῖνος Τρίτος, Δεσπότης ὢν ἐν Μυζηθρᾷ, καὶ κύριος τοῦ ἡμίσεως μέρους τῆς Πελοποννήσου· καὶ οὗτος ἐστέφθη. Καὶ ἐν τῷ δευτέρῳ αὐτοῦ ἔτει ἑάλω ἡ Κωνσταντινούπολις ἀσχίστως καὶ ὠμότατα ὑπὸ τῶν ἀθέων Τούρκων τῇ ΚΘ' ἐννάτῃ (haec dictio redundat) τοῦ Μαΐου μηνὸς · ἡμέρᾳ τρίτῃ πρωΐ, ϚϡΞΑ' ἔτει. Καὶ αὐτὸς σὺν πολλοῖς ἄλλοις ἐσφάγη, ἐγὼ αἰχμάλωτος γέγονα. Ἐπὶ τούτοις ἀπώλετο πάντα τὰ τῶν Ῥωμαίων· καὶ βασίλεια, καὶ εὐγένεια, καὶ λόγοι καὶ πλοῦτος, καὶ αὐτὴ ἡ ἐλευθερία.

Τέταρτος ἦν Δημήτριος Δεσπότης ἐν Μυζηθρᾷ.

Καὶ πέμπτος ὁ Θωμᾶς Δεσπότης τῶν Πατρῶν · καθ' ὧν ὁ ἀσεβὴς Μαχομέτης στρατεύσας, τὸ καὶ

Δημήτριος αἰχμάλωτος λαβὼν ἅμα γυναικὶ καὶ θυγατρὶ εἰς Ἀδριανούπολιν ἐκόμισεν. Ὅπου μετὰ ταῦτα τὸ κοινὸν ἀπέδωκε χρέος, τῆς γυναικὸς καὶ θυγατρὸς προαποθανουσῶν.

Τὸν δὲ Θωμᾶν ἐφυγάδευσεν ἅμα πᾶσι τοῖς ἑαυτοῦ, ὅς ἐν Ῥώμῃ ἀφικόμενος ἐπὶ Πίου Ἀρχιερέως διέζη. Καὶ μετὰ ταῦτα θανὼν κατέλιπε δύο υἱοὺς καὶ μίαν θυγατέρα ἣν ἔγημεν ὁ βασιλεὺς τῆς Ῥωσίας.

Τῶν δὲ υἱῶν ὁ μὲν νεώτερος Μανουὴλ ὑπ' ἀπορίας κατέφυγεν εἰς τὸν Τοῦρκον, ὅπου προνοίας τυχὼν καλῶς ζῇ μέχρι τοῦ παρόντος. Ὁ δὲ πρῶτος Ἀνδρέας ἄγαμος γενόμενος περὶ πολλὰ τῆς Εὐρώπης πλανᾶται.

Ἔτει ϚϡϞΘ' ἔτει. (=1491)